eul_wid: ira-aa

*Ἀρτέμων ὁ Περγαμηνός* · Artemon of Pergamum

# Fragments on Pindar's Odes

*Ἀποσπάσματα περὶ τῶν Πινδάρου Ἐπινίκων*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κοινή* Koine (frg)
**Domain:** *Ἱστορία* History
**Format:** *Πεζός* Prose

t3a-8 Commentarii in Pindari carmina. Siculis scripta. Schol.

3a Pind. Pyth. I, 1: [ Ἱέρωνι Αἰτναί ῳ ] Γέγραπται μὲν ὁ ἐπίνικος Ἱέρωνι, λέγεται δὲ ὁ Πίνδαρος οὕτως (sc. verbis χρυσέα φόρμιγξ) ἐπιβεβλῆσθαι κατὰ Ἀρτέμονα τὸν ἱστορικὸν, ὅτι δὴ αὐτῷ ὁ Ἱέρων χρυσῆν ὑπέσχετο κιθάραν. Idem paullo post: Τινὲς χρυσῆν ὑποσχέσθαι φασὶ κιθάραν τὸν Ἱέρωνα τῷ Πινδάρῳ.

3b Διὸ καὶ ὁ ποιητὴς ὑπομιμνήσκων αὐτὸν τῆς ἐπαγγελίας ἀπὸ τῆς κιθάρας ἤρξατο. Idem ib.

4 I, 32: Ἀρτέμων δέ τις ἱστορικὸς πιθανώτερον λογοποιεῖ· καθάπαξ γὰρ, φησὶν, πᾶν ὄρος ἔχον πυρὸς ἀναδόσεις ἐπὶ Τυφῶνι καίεται. Idem Ol.

5 II, 16: [ Καμόντες οἳ (sc. οἱ τοῦ Θήρωνος πατέρες) πολλὰ θυμῷ ἱερὸν ἔσχον οἴκημα ποταμο ῦ ] Ἀρίσταρχος τὴν πόλιν οἴκημα ποταμοῦ προσηγορεῦσθαί φησι διὰ τὸ ὁμώνυμον εἶναι τῷ ποταμῷ Ἀκράγαντι. Τὴν γὰρ ὀνομασίαν ἡ πόλις ἀπὸ τοῦ ποταμοῦ ἔσχεν. Ἀρτέμων δὲ ὁ ἀπὸ Περγάμου τὴν Γέλλαν οἴεται δεῖν ἀκούειν, οὕτω καλουμένην πόλιν ἐν Σικελίᾳ παρὰ τῷ ποταμῷ τῷ Γέλᾳ, ὡς Καλλίμαχος· Οἱ δὲ Γέλα ποταμοῦ κεφαλῇ ἐπικείμενον ἄστυ. Καὶ γὰρ ταύτην ὁμώνυμον εἶναι Γέλλᾳ τῷ ποταμῷ, τοὺς δὲ Ἀκραγαντίνους Γελλῴων εἶναι ἀποίκους. Ὥστε τὸ πατέρων ἄωτον ἐν Γέλλᾳ ἐπὶ τῶν τοῦ Θήρωνος προγόνων συντετάχθαι. Κεφαλαιώδει δὲ χρῆται τῷδε· τὸ δὲ καμόντε ς , ἔφη, προσήκειν μᾶλλον ἀκούειν ὑπὲρ τῶν τὴν Γέλλαν ἐκτικότων, ἀλλ’ οὐ τὴν Ἀκράγαντα. Οἱ μὲν γὰρ ἀπὸ τοῦ ῥᾴστου συνῳκίσθησαν, οἱ δὲ χαλεπῶς καὶ μόλις. Ἀντίφημος γὰρ ὁ Ῥόδιος καὶ Ἔντιμος ὁ Κρὴς οἱ τὴν εἰς Γέλλαν στείλαντες ἀποικίαν πρῶτον μὲν περὶ τὴν συναγωγὴν ἔκαμον οὐ μετρίως, συναθροίζοντες τοὺς ἐκ Πελοποννήσου καὶ Ῥόδου καὶ Κρήτης, εἶτα περὶ τὸν διάπλουν, εἶτα περὶ τὸν κατοικισμὸν, καὶ πάλιν διαγωνισάμενοι πρὸς τοὺς Σικανούς. Μενεκράτης δέ φησι ληρεῖν τὸν Ἀρτέμονα κ. τ. λ. Id.

6 Ol. V, 2: [ Ὠκεανοῦ θυγάτη ρ ] Ἀρίσταρχος δὲ ἀκούει Ὠκεανοῦ θυγατέρα Καμάριναν, τὴν λίμνην, ἀφ’ ἧς καὶ τὴν πόλιν ὠνομάσθαι. Ἀρτέμων δὲ πρὸς τὴν Ἀρέθουσαν τὸν λόγον εἶναί φησιν· αὕτη δὲ ἐν Συρακούσαις κρήνη, ὑποτέτακται δὲ ἡ Καμάρινα ταῖς Συρακούσαις. Ἔχει δὲ ἡ Ἀρέθουσα καὶ πᾶσα κρήνη τὰς πηγὰς ἀπὸ Ὠκεανοῦ. Idem Pyth.

7 III, 48: Ἐπαινεῖ τὸν Πίνδαρον ὁ Ἀρτέμων, ὅτι παρακρουσάμενος τὴν περὶ τὸν κόρακα ἱστορίαν αὐτὸν δι’ ἑαυτοῦ ἐγνωκέναι φησὶ τὸν Ἀπόλλωνα. Ἱστορεῖται γὰρ ὅτι τὴν Ἴσχυος μίξιν ἐδήλωσεν αὐτῷ ὁ κόραξ· παρὸ καὶ δυσχεράναντα ἐπὶ τῇ ἀγγελίᾳ τὸν Ἀπόλλωνα ἀντὶ λευκοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μέλανα αὐτὸν ποιῆσαι. Τοῦτον οὖν τὸν μῦθον διωσάμενόν φησι τὸν Πίνδαρον τῷ ἑαυτοῦ νῷ καταλαβεῖν τὰ πεπραγμένα τῇ Κορωνίδι. Παράλογον γὰρ τὸν ἄλλοις μαντευόμενον αὐτὸν μὴ συμβαλεῖν τὰ κατ' αὐτοῦ δρώμενα. Χαίρειν οὖν φράσας τῷ τοιούτῳ μύθῳ τέλεον ὄντι ληρώδει αὐτόν φησι τὸν Ἀπόλλωνα παρὰ τοῦ νοῦ πυθόμενον ἐπιπέμψαι τῇ Κορωνίδι τὴν Ἄρτεμιν. Τὸν δὲ περὶ τὸν κόρακα μῦθόν φησι καὶ Ἡσίοδον μνημονεύοντα λέγειν οὕτω· Τῷ μὲν ἄρ' ἄγγελος ἦλθε κόραξ ἱερῆς ἀπὸ δαιτὸς Πυθὼ ἐς ἠγαθέην, καί ῥ' ἔφρασεν ἔργ' ἀΐδηλα Φοίβῳ ἀκερσεκόμῃ, ὅτ' ἄρ' Ἴσχυς γῆμε Κορωνὶν Εἰλατίδης, Φλεγύαο Διογνήτοιο θύγατρα. Idem Isthm.

8 II, 1: [ Ξενοκράτει Ἀκραγαντίν ῳ ] Τὸν δὲ Ξενοκράτην τοῦτον οἱ μὲν προϋπομνηματισάμενοι Θήρωνος ἀδελφὸν εἶναί φασιν, ὁ δὲ Ἀρτέμων σφόδρα τὰ περὶ τοὺς Σικελιώτας πεπολυπραγμονηκὼς αὐτὸν μόνον συγγενῆ φησὶν εἶναι Θήρωνος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org